507 Καταγοητεύων· αἰτιατικῇ. ἀπατῶν. Σ

508 Κατάγονται: ξενοδοχοῦνται. καὶ ἐν αὐτῷ κατάγονται καὶ ξενίων τυχόντες ἐπανῆλθον.

509 Καταγορεύω σου· γενικῇ. Synt.

510 Καταγωγή: παρὰ Ἡροδότῳ πανδοκεῖον. Hdt.

511 Καταγωγῆς: ἀναπαύλης, δεξιώσεως. ὁ δὲ εἴς τινος πανδοκέως E ἐλθὼν ἠξίου τυχεῖν καταγωγῆς. ὁ δὲ ἐδέξατο καὶ πῦρ ἐξέκαυσεν.

512 Καταγωνίζεσθαι· αἰτιατικῇ. νικᾶν. Σ

513 Κατάγραπτος: ποικίλος. Σ

514 Καταγράφων: προμηθούμενος, προξενῶν. Αἰλιανός· ὁ τοίνυν E Διονύσιος καταγράφων ἑαυτῷ λύτρα πλεῖστα ὑπὲρ τῆς κόρης, ἢ χρυσίον πάμπολυ, ἣν ἀπόλοιτο αὐτή.

515 Καταδακρύω σου· γενικῇ. Synt.

516 Καταδακτυλικός: ἀντὶ τοῦ συνουσιαστικὸς κατὰ τοῦ δακτυλίου Ar. τοῦ πρωκτοῦ.

517 Κατὰ δάκτυλον: εἶδος ἀριθμητικὸν ἢ γεωμετρικὸν ἢ ῥυθμοῦ, Ar. καὶ κρούματος τὸ κατὰ δάκτυλον· ᾧ ἐχρῶντο οἱ αὐλοῦντες πρὸ τοῦ νόμου.

518 Καταδαρθάνειν: κατακοιμίζεσθαι. κυρίως δὲ καταδαρθεῖν ἐστι τὸ ἐν δέρμασι κατακοιμηθῆναι. Ἀριστοφάνης Πλούτῳ· ἔτι δ' οὐχ Ar. ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν. βαρυτόνως δὲ οἱ Ἀττικοὶ καταδάρθειν. καὶ Αἰλιανός· καὶ καταδαρθόντι οἱ τῶν τις ἱερέων ἐδόκει E λέγειν μίαν εἶναι σωτηρίας ὁδὸν τῷ ἀνδρὶ καὶ ἓν τῶν ἐφεστώτων κακῶν φάρμακον.

519 Καταδεδέσθαι: ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκῳ. Harp. Δείναρχος ἐν τῇ κατὰ Πυθαίου εἰσαγγελίᾳ.

520 Καταδεύσῃ: φυράσῃ, μαλάξῃ. Αἰλιανός· εἴπερ οὖν τὰ Ἐπικούρου βιβλία καταφλέξας, καὶ τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐκτεθηλυμμένων στιγμάτων Snid. τὴν σποδὸν ἀναδεύσει κηρῷ ὑγρῷ, καὶ ἐπιπλασάμενος τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις.

521 Κατὰ δὲ φρόνιν ἦγαγε πολλήν: ἐμίσησε, κατεφρόνησεν. Σ Ὅμηρος· κατὰ δὲ φρόνιν ἦγαγε πολλήν.